ὁ τῶν ΑΒ ΒΓ μέσον ἀναλογόν ἐστι το ΔΗ· καὶ ἔστι τῶν ΑΓ ΓΒ μέ-
σον ἀνάλογόν ἐστι το ΔΓ· ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΔΒ τῆι
ΖΒ· ἡ δὲ ΒΕ τῆι ΒΗ· ὅλη ἄρα ἡ ΔΕ ὅλη τῆι ΖΗ ἐστὶν ἴ-
ση· ἀλλ' ἡ μὲν ΔΕ· ἑκατέρα τῶν ΑΘ ΚΓ ἐστὶν ἴση· ἡ
δὲ ΗΖ· ἑκατέρα τῶν ΑΚ ΘΓ ἐστὶν ἴση· καὶ ἑκατέρα
ἄρα τῶν ΑΘ ΚΓ ἑκατέρα τῶν ΑΚ ΘΓ ἐστὶν ἴση· ἰσό-
πλευρον ἄρα ἐστὶ το ΔΓ παραλληλόγραμμον· ἔστιν δὲ καὶ
ὀρθογώνιον· τετράγωνον ἄρα ἐστὶ το ΔΓ· καὶ ἐπεὶ ἐστὶν
ὡς ἡ ΖΒ προστὴν ΒΗ οὕτως ἡ ΔΒ προστὴν ΒΕ· ἀλ-
λ' ὡς μὲν ἡ ΖΒ προστὴν ΒΗ οὕτως το ΑΒ προστο ΔΗ
ὡς δὲ ἡ ΔΒ προστὴν ΒΕ· οὕτω το ΔΗ προστὴν ΒΓ
καὶ ὡς ἄρα το ΑΒ προστο ΔΗ οὕτω το ΔΗ προστο ΒΓ·
τῶν ΑΒ ΒΓ ἄρα μέσον ἀνάλογόν ἐστι το ΔΗ· λέγω δὴ
ὅτι καὶ τῶν ΑΓ ΓΒ μέσον ἀνάλογόν ἐστι το ΔΓ· ἐπεὶ γὰρ
ἐστὶν ὡς ἡ ΑΔ προστὴν ΔΚ οὕτως ἡ ΚΗ προς ΗΓ·
ἴση γὰρ ἐστὶν ἑκατέρα ἑκατέρα· καὶ συνθέντι ὡς ἡ
ΑΚ προς ΚΔ οὕτως ἡ ΚΓ προς ΓΗ· ἀλλ' ὡς μὲν
ἡ ΑΚ προς ΚΔ·
οὕτως το ΑΓ προς
το ΓΔ· ὡς δὲ ἡ ΚΓ
προς ΓΗ· οὕτως
το ΔΓ προς ΓΒ·
καὶ ὡς ἄρα το ΑΓ
προς ΔΓ· οὕτως
το ΔΓ προς ΒΓ· τῶν ΑΓ ΓΒ ἄρα μέσον ἀνάλογόν ἐστι
το ΔΓ· ὅπερ προέκειτο δεῖξαι·



ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκδύο ὀνομάτων
πρώτης· ἡ το χωρίον δυναμένη ἀλογόσεστιν ἡ κα-
λουμένη ἐκδύο ὀνομάτων· χωρίον γὰρ το ΑΒ ΓΔ
περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΒ καὶ τῆς ἐκδύο ὀνο-
μάτων πρώτης τῆς ΑΔ· λέγω ὅτι ἡ το ΑΓ χωρίον
δυναμένη ἀλογόσεστιν ἡ καλουμένη ἐκδύο ὀνομά-
των· ἐπεὶ γὰρ ἐκδύο ὀνομάτων ἐστὶ πρώτη ἡ ΑΔ·
διηρήσθω εἰς τὰ ὀνόματα κατὰ το Ε· καὶ ἔστω το μεῖζον
ὄνομα το ΑΕ· φανερὸν δὲ ὅτι αἱ ΑΕ ΕΔ ῥηταί εἰσι
δυνάμει μόνον σύμμετροι· καὶ ἡ ΑΕ τῆς ΕΔ μεῖζον
δύναται τῶι ἀποσυμμέτρου ἑαυτῆι· καὶ ἡ ΑΕ σύμ-
μετρός ἐστι τῆι ἐκκειμένηι ῥητῆι τῆι ΑΒ μήκει· τε-
τμήσθω δὴ ἡ ΕΔ δίχα κατὰ το Ζ σημεῖον· καὶ ἐπεὶ ἡ
ΑΕ τῆς ΕΔ μεῖζον δύναται τῶι ἀπὸ συμμέτρου ἑ-
αυτῆι· ἐὰν ἄρα τῶι τετάρτωι μέρει τῶι ἀπὸ τῆς
ἐλάσσονος τουτέστι τῶι ἀπὸ τῆς ΕΖ ἴσον παρα-
τὴν μεῖζονα τὴν ΑΕ παραλληθῆι ἐλλείπον εἴδει
τετραγώνωι· εἰς σύμμετρα αὐτὴν διελεῖ· παραβε-
βλήσθω οὖν παρὰ τὴν ΑΕ τῶι ἀπὸ τῆς ΕΖ ἴσον
το ὑπὸ ΑΗ ΗΕ· σύμμετρος ἄρα ἐστὶν ἡ ΑΗ τῆι ΕΗ μή-
κει· καὶ ἤχθωσαν διὰ τῶν Η Ε Ζ ὁπότερα τῶν ΑΒ ΔΓ
παραλληλοι αἱ ΗΘ ΕΚ ΛΖ· καὶ τῶι μὲν ΑΘ παραλλη-
λόγραμμοι· ἴσον τετράγωνον συνεστάτω το ΘΝ· τῶι
δὲ ΗΚ· ἴσον το ΝΠ· καὶ κείσθω ὥστε ἐπευθείας εἶναι
τὴν ΜΝ τῆι ΝΡ· ἐπευθείας ἄρα ἐστὶν καὶ ἡ ΡΝ τῆι ΝΟ·
καὶ συμπεπληρώσθω το ΘΠ παραλληλόγραμμον·

ΔΡΤΚΘΤΙ

ΔΡΤΙΖΤΙ

ΔΡΤΛΑΤΑ

ΔΡΤΛΗΜΜΑΤΟ
ΠΡΟΚΕΙΜΕΝ

BIBLIOTHECA BODLEIANA